# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dsy-aa

*Φιλόξενος ὁ Λευκαδεύς* · Philoxenus of Leucas

## Fragments of a Luxurious Banquet

*Ἀποσπάσματα περὶ Δείπνου Τρυφεροῦ*

**Period:** *Κλασική* Classical
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book a.1 κατὰ χειρὸς δ' ἤλιθ' ὕδωρ ἁπαλὸς[ln_2]παιδίσκος ἐν ἀργυρέαι[ln_2]πρόχωι

book a.2 φορέων ἐπέχευεν, εἶτ' ἔφερε

book a.3 στέφανον[ln_3]λεπτᾶς ἀπὸ μυρτίδος εὐ-[ln_3]γνήτων κλαδέων δισύναπτον.

book b.1 εἰς δ' ἔφερον διπλόοι[ln_1]παῖδες λιπαρῶπα

book b.2 τράπεζαν ἄμμ', ἑτέραν δ' ἑτέροις,[ln_2]ἄλλοις δ' ἑτέραν, μέχρις οὗ[ln_2]πλήρωσαν οἶκον· ταὶ δὲ πρὸς ὑψιλύχνους[ln_3]ἔστιλβον αὐγὰς εὐστέφανοι λεκάναις[ln_4]παροψίσι τ' ὀξυβάφων[ln_4]πλήρεις σύν

book b.3 τε χλιδῶσαι[ln_5]παντοδαποῖσι τέχνας[ln_5]εὑρήμασι

book b.4 πρὸς βιοτάν,[ln_5]ψυχᾶς δελεασματίοισι· πάρφερον ἐν κανέοις[ln_6]μάζας

book b.5 χιονόχροας ἄλλοι· 〈τοῖσ〉 δ' ἐπὶ πρῶτα

book b.6 παρῆλθ'[ln_7]οὐ κάκκαβος, ὦ φιλότας,[ln_7]ἀλλ' ἀλλοπλατεῖς τὸ μέγιστον πάντ' ἔπαθεν λιπαροντες[ln_8]εγχελεατινες ἄριστον γόγγροιτοιωνητεμων[ln_9]πλῆρες θεοτερπές· ἐπ' αὐτῶι[ln_10]δ' ἄλλο

book b.7 παρῆλθε τόσον,

book b.1 [ln_10]βατὶς δ' ἐνένη ἰσόκυκλος· μικρὰ δὲ κακκάβι' ἦς[ln_11]ἔχοντα τὸ μὲν γαλεοῦ[ln_11]τι, ναρκίον ἄλλο 〈 〉 〈 〉 παρῆς ἕτερον[ln_12]πίων ἀπὸ τευθιάδων[ln_12]καὶ σηπιοπουλυποδείων 〈 〉 ἁπαλοπλοκάμων·[ln_13]θερμὸς μετὰ ταῦτα

book b.2 παρῆλθεν ἰσοτράπεζος ὅλος[ln_14]μνήστης

book b.3 συνόδων

book b.4 πυρὸς 〈 〉 [ln_15] 〈 〉 ἔπειτα βαθμοὺς[ln_15]ἀτμίζων ἐπὶ τῶιδ' ἐπιπυσται τευθίδες, ὦ φίλε, καὶ[ln_16]ξανθαὶ μελικαρίδες αἱ[ln_16]κοῦφαι

book b.5 παρῆλθον· θρυμματίδες δ' ἐπὶ ταύ-[ln_17]ταις εὐπέταλοι

book b.6 χλοεραί[ln_17]τε δηφαρυγες πυριων

book b.7 τε στεγαναὶ[ln_18]φυσταὶ μέγαθος κατὰ κάκ-[ln_18]καβον γλυκυόξεες 〈 〉 ὀμφαλὸς θοίνας καλεῖται[ln_19]παρά γ' ἐμὶν καὶ τίν, σάφ' οἶδα.

book b.1 [ln_20]εσταδα ναὶ μὰ θεοὺς[ln_20]ὑπερμέγεθές

book b.2 τι θέμος[ln_20]θύννου μόλεν ὀπτὸν ἐκεῖθεν θερμὸν ὅθεν γλυφις[ln_21]τετμημένον εὐθὺς ἐπ’ αὐτὰς τὰς ὑπογαστρίδας, 〈αἶσ〉 [ln_22]διανεκέως ἐπαμύνειν εἴπερ ἐμίν

book b.3 τε μέλοι[ln_23]καὶ τίν, μάλα κεν κεχαροίμεθ’. ἀλλ’ ὅθεν ἐλλίπομεν,[ln_24]θοίνα

book b.4 παρέης ὅτε

book b.5 παλάξαι[ln_25]δύνατ’ ἐπικρατέως[ln_25]ἔγωγ’ ἔτι, κοὔ κε λέγοι

book b.6 τις πάνθ’ ἃ παρῆν ἐτύμως[ln_26]ἄμμιν, παρέπεσαι δὲ θερμὸν

book b.7 σπλάγχνον· ἔπειτα δὲ νῆ-[ln_27]στις δέλφακος οἰκετικᾶς καὶ νωτί’ ἐσῆλθε καὶ ὀσ-[ln_28]φῦς καὶ μινυρίγματα θερμὰ καὶ κεφάλαιον ὅλον[ln_29]διαπτυχὲς ἑφθὸν ἁπερ-[ln_29]πευθηνος ἀλεκτοτρόφου[ln_29]πνικτᾶς ἐρίφου

book b.8 παρέθηκε.

book b.1 [ln_30]εἶτα δίεφθ’ ἀκροκώ-[ln_30]λια

book b.2 σχελίδας

book b.3 τε μετ’ αὐτῶν λευκοφορινοχρόους,[ln_31]ῥύγχη κεφάλαια πόδας[ln_31]τε

book b.4 χναυμάτιόν

book b.5 τε σεσιλ-[ln_31]φιωμένον· ἑφθά τ’ ἔπειτα κρέ’ ὀπ-[ln_32]τά τ’ ἄλλ’ ἐρίφων

book b.6 τε καὶ ἄρνων ἅ θ’ ὑπερωμόκρεως[ln_33]χορδὰ γλυκίστα μιξεριφαρνογενής,[ln_34]ἂν δὴ φιλέοντι θεοί,[ln_35]τουτ 〈 〉 ὦ φιλότας[ln_35]ἔσθοις κε, λαγῷά τ’ ἔπειτ’[ln_35]ἀλεκτρυόνων

book b.7 τε νεοσσοί, περδίκων φάσσεων[ln_36]τε χύδαν ἤδη δὲ παρεβάλλετο θερμὰ πολλὰ καὶ μαλακοπτυχέων[ln_37]ἄρτων· ὁμοσύζυγα δὲ

book b.1 [ln_37]ξανθόν τ’ ἐπεισῆλ-[ln_37]θεν μέλι καὶ γάλα σύμπακ-[ln_37]τον, τό κε

book b.2 τυρὸν ἅπας

book b.3 τις ἦμεν ἔφασχ’ ἁπαλόν,[ln_38]κἠγὼν ἐφάμαν· ὅτε δ’ ἤδη βρωτύος ἠδὲ ποτᾶ-[ln_39]τος ἐς κόρον ἥιμεν ἑταῖροι,[ln_40]τῆνα μὲν ἐξαπάει-[ln_40]ρον δμῶες, ἔπειτα δὲ παῖ-[ln_40]δες νίπτρ’ ἔδοσαν κατὰ χειρῶν

book b.4 σμήμασιν ἰρινομίκ-[ln_41]τοις

book b.5 χλιεροθαλπὲς ὕδωρ[ln_41]ἐπεγχέοντες τόσσον ὅσον 〈τισ〉 ἔχρηιζ’,[ln_42]ἐκτρίμματά τ(ε) 〈 〉 λαμπρὰ σινδονυφῆ, δίδοσαν[ln_42] 〈δὲ〉 χρίματά τ’ ἀμβροσίο-[ln_42]δμα καὶ στεφάνους ἰοθαλέας.

book c.1 σὺ δὲ τάνδ’ ἐκβακχια εὔδροσον

book c.2 πλήρη μετανιπτρίδα δέξαι· πραΰ τί τοι Βρόμιος[ln_3]γάνος τόδε δοὺς ἐπὶ τέρ-[ln_3]ψιν πάντας ἄγει.

book d.1 πίνετο νεκτάρεον[ln_1]πῶμ’ ἐν

book d.2 χρυσέαις

book d.3 προτομαῖς[ln_1]τε ἄλλων κεράτων, ἔβρεχον δὲ κατὰ μικρὸν

book e.1 τὰς δὲ δὴ πρόσθεν μολούσας[ln_1] 〈 〉 λιπαραυγεῖς

book e.2 πορθμίδας

book e.3 πολ-[ln_2]λῶν ἀγαθῶν πάλιν εἴσφε-[ln_2]ρον γεμούσας, τὰς ἐφήμεροι καλέοντι[ln_3]νῦν

book e.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραπέζας 〈δευτέρασ〉 , ἀθάνατοι δέ τ’ Ἀμαλθεί-[ln_4]ας κέρας· ταῖς δ’ ἐν μέσαισιν[ln_5]ἐγκαθιδρύ-[ln_5]θη μέγα χάρμα βροτοῖς, λευ-[ln_5]κὸς μυελὸς γλυκερός, λεπτᾶς ἀράχνας ἐναλιγκί-[ln_6]οισι πέπλοις

book e.5 συγκαλύπτων ὄψιν αἰσχύ-[ln_7]νας ὕπο, μὴ κατίδηις μαλογενὲς πῶυ λιπὼν[ln_8]ταῖς ἀνάγκαις ξηρὸν ἐν ξηραῖς Ἀρισταί-[ln_9]ου μελιρρύτοισι

book e.6 παγαῖς·

book e.1 [ln_10]τῶι δ’ ὄνομ’ ἦς ἄμυλος,[ln_10]χερσὶν δ’ ἐπέθεντο 〈[ln_10]〉 στόμιον μαλεραῖς 〈 〉 [ln_11]ταν δεξαμέναν ὅ τι κεν[ln_11]διδῶι

book e.2 τις, ἃ Ζανὸς καλέοντι

book e.3 τρώγματ’· ἔπειτ’ ἐπένειμεν[ln_12]ἐγκατακνακομιγὲς[ln_12]πεφρυγμένον

book e.4 πυρβρομολευκερεβινθο-[ln_13]ακανθουμικτριτυαδυ[ln_13]βρῶμα τὸ παντανάμικτον ἀμπυκικηροιδηστί-[ln_14]χας παρεγίνετο

book e.5 τούτοις[ln_15]σταιτινοκογχομαγὴς[ln_15]τοξαισελαιο-[ln_15]ξανθεπιπαγκαπύρ〈ω-[ln_15]τ〉ος

book e.6 χοιρίνας, ἁδέα δε 〈 〉 [ln_16]κυκλωτὰ ομοφλωκτα ἀνάριθμα καὶ μελίπακτα

book e.7 τετυγμέν’[ln_17]ἄφθονα

book e.8 σασαμόφωκτα· τυρακίνας δὲ γάλακτι[ln_18]καὶ μέλι

book e.9 συγκατάφυρτος[ln_18]ἦς ἄμυλος

book e.10 πλαθανίτας· σασαμοτυροπαγῆ δὲ

book e.1 [ln_19]καὶ ζεσελαιοπαγῆ[ln_19]πλατύνετο

book e.2 σασαμόπλαστα[ln_20]πέμματα, κᾆιτ’ ἐρέβινθοι[ln_20]κνακομιγεῖς ἁπαλαῖς θάλ-[ln_20]λοντες ὥραις, ὠιά τ’ ἀμυγδαλίδες 〈τε〉 [ln_21]τᾶν μαλακοφλοΐδων[ln_21] 〈 〉 τετο

book e.3 τρωκτά τε

book e.4 παισὶν αδυιδη κάρυ’ ἄλλα[ln_22]θ’ ὅσσα

book e.5 πρέπει

book e.6 παρὰ θοίναν ὀλβιόπλουτον 〈 〉 ·[ln_23]πόσις δ’ ἐπεραίνετο κότ-[ln_23]ταβοί τε λόγοι τ’ ἐπὶ κοινᾶς· ἔνθα

book e.7 τι καινὸν ἐλέχθη[ln_24]κομψὸν ἀθυρμάτιον, καὶ[ln_24]θαύμασαν αὔτ’ ἐπί τ’ ἤινη-[ln_24]σαν 〈 〉